# 178. THE CRUCIFIXION OF JESUS (Matt-Mk Identical)

| Matt 27:32-56 | Mark 15:21-41 |
|---|---|
| *Ἐξερχόμενοι δὲ* | *Καὶ* |
| *εὗρον ἄνθρωπον* | *ἀγγαρεύουσιν παράγοντά* |
| *Κυρηναῖον ὀνόματι Σίμωνα·* | *τινα Σίμωνα Κυρηναῖον* |
| | *ἐρχόμενον ἀπ ἀγροῦ,* |
| | *τὸν πατέρα Ἀλεξάνδρου καὶ Ῥούφου,* |
| *τοῦτον ἠγγάρευσαν* | |
| *ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ.* | *ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ.* |
| | - |
| *33 Καὶ ἐλθόντες* | *22 καὶ φέρουσιν αὐτὸν* |
| *εἰς τόπον λεγόμενον Γολγοθᾶ,* | *ἐπὶ τὸν Γολγοθᾶν τόπον,* |
| *ὅ ἐστιν* | *ὅ ἐστιν μεθερμηνευόμενον* |
| *Κρανίου Τόπος λεγόμενος,* | *Κρανίου Τόπος.* |
| *34 ἔδωκαν αὐτῷ πιεῖν* | *23 καὶ ἐδίδουν αὐτῷ* |
| *οἶνον μετὰ χολῆς μεμιγμένον· καὶ* | *ἐσμυρνισμένον οἶνον,* |
| *γευσάμενος οὐκ ἠθέλησεν πιεῖν.* | *ὃς δὲ οὐκ ἔλαβεν.* |
| *35 σταυρώσαντες δὲ αὐτὸν* | *24 καὶ σταυροῦσιν αὐτὸν* |
| *διεμερίσαντο* | *καὶ διαμερίζονται* |
| *τὰ ἱμάτια αὐτοῦ* | *τὰ ἱμάτια αὐτοῦ,* |
| *βάλλοντες κλῆρον,* | *βάλλοντες κλῆρον ἐπ αὐτὰ* |
| | *τίς τί ἄρῃ.* |
| | *25 ἦν δὲ ὥρα τρίτη* |
| | *καὶ ἐσταύρωσαν αὐτόν.* |
| *36 καὶ καθήμενοι* | |
| *ἐτήρουν αὐτὸν ἐκεῖ.* | |
| *37 καὶ ἐπέθηκαν* | *26 καὶ ἦν ἡ ἐπιγραφὴ* |

| | |
|---|---|
| *ἐπάνω τῆς κεφαλῆς* | |
| *αὐτοῦ τὴν αἰτίαν αὐτοῦ* | *τῆς αἰτίας αὐτοῦ* |
| *γεγραμμένην·* | *ἐπιγεγραμμένη,* |
| *Οὗτός ἐστιν Ἰησοῦς* | |
| *ὁ βασιλεῦς τῶν Ἰουδαίων.* | *Ὁ βασιλεὺς τῶν Ἰουδαίων.* |
| *38 Τότε σταυροῦνται σὺν αὐτῷ* | *27 Καὶ σὺν αὐτῷ σταυροῦσιν* |
| *δύο λῃσταί,* | *δύο λῃστάς,* |
| *εἷς ἐκ δεξιῶν* | *ἕνα ἐκ δεξιῶν* |
| *καὶ εἷς ἐξ εὐωνύμων.* | *καὶ ἕνα ἐξ εὐωνύμων αὐτοῦ.* |
| *39 Οἱ δὲ παραπορευόμενοι* | *29 Καὶ οἱ παραπορευόμενοι* |
| *ἐβλασφήμουν αὐτὸν* | *ἐβλασφήμουν αὐτὸν* |
| *κινοῦντες τὰς κεφαλὰς αὐτῶν* | *κινοῦντες τὰς κεφαλὰς αὐτῶν* |
| *40 καὶ λέγοντες,* | *καὶ λέγοντες, Οὐὰ* |
| *Ὁ καταλύων τὸν ναὸν* | *ὁ καταλύων τὸν ναὸν* |
| *καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν,* | *καὶ οἰκοδομῶν ἐν τρισὶν ἡμέραις,* |
| *σῶσον σεαυτόν,* | *30 σῶσον σεαυτὸν* |
| *εἰ υἱὸς εἶ τοῦ θεοῦ,* | |
| *καὶ κατάβηθι ἀπὸ τοῦ σταυροῦ.* | *καταβὰς ἀπὸ τοῦ σταυροῦ.* |
| *41 ὁμοίως καὶ οἱ ἀρχιερεῖς* | *31 ὁμοίως καὶ οἱ ἀρχιερεῖς* |
| *ἐμπαίζοντες* | *ἐμπαίζοντες πρὸς ἀλλήλους* |
| *μετὰ τῶν γραμματέων* | *μετὰ τῶν γραμματέων* |
| *καὶ πρεσβυτέρων* | |
| *ἔλεγον,* | *ἔλεγον,* |
| *42 Ἄλλους ἔσωσεν,* | *Ἄλλους ἔσωσεν,* |
| *ἑαυτὸν οὐ δύναται σῶσαι·* | *ἑαυτὸν οὐ δύναται σῶσαι·* |
| | *32 ὁ Χριστὸς* |
| *βασιλεὺς Ἰσραήλ ἐστιν,* | *ὁ βασιλεὺς Ἰσραὴλ* |
| *καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ* | *καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ,* |
| *καὶ πιστεύσομεν ἐπ αὐτόν.* | *ἵνα ἴδωμεν καὶ πιστεύσωμεν.* |
| *43 πέποιθεν ἐπὶ τὸν θεόν,* | |
| *ῥυσάσθω νῦν εἰ θέλει αὐτόν· εἶπεν γὰρ ὅτι Θεοῦ εἰμι υἱός.* | |
| *44 τὸ δ αὐτὸ καὶ οἱ λῃσταὶ* | |
| *οἱ συσταυρωθέντες* | *καὶ οἱ συνεσταυρωμένοι* |
| *σὺν αὐτῷ* | *σὺν αὐτῷ* |
| *ὠνείδιζον αὐτόν.* | *ὠνείδιζον αὐτόν.* |

| | |
|---|---|
| *45 Ἀπὸ δὲ ἕκτης ὥρας* | *33 Καὶ γενομένης ὥρας ἕκτης* |
| *σκότος ἐγένετο* | *σκότος ἐγένετο* |
| *ἐπὶ πᾶσαν τὴν γῆν* | *ἐφ ὅλην τὴν γῆν* |

| | |
|---|---|
| ἕως ὥρας ἐνάτης. | ἕως ὥρας ἐνάτης. |
| 46 περὶ δὲ τὴν ἐνάτην ὥραν | 34 καὶ τῇ ἐνάτῃ ὥρᾳ |
| ἀνεβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ λέγων, | ἐβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, |
| Ηλι ηλι λεμα σαβαχθανι | Ελωι ελωι λεμα σαβαχθανι |
| τοῦτ᾽ ἔστιν, | ὅ ἐστιν μεθερμηνευόμενον |
| Θεέ μου θεέ μου, | Ὁ θεός μου ὁ θεός μου, |
| ἱνατί με ἐγκατέλιπες | εἰς τί ἐγκατέλιπές με |
| 47 τινὲς δὲ τῶν ἐκεῖ ἑστηκότων | 35 καί τινες τῶν παρεστηκότων |
| ἀκούσαντες ἔλεγον ὅτι | ἀκούσαντες ἔλεγον, |
| Ἠλίαν φωνεῖ οὗτος. | Ἴδε Ἠλίαν φωνεῖ. |
| 48 καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν | 36 δραμὼν δέ τις |
| καὶ λαβὼν σπόγγον πλήσας τε | καὶ γεμίσας σπόγγον |
| ὄξους | ὄξους |
| καὶ περιθεὶς καλάμῳ | περιθεὶς καλάμῳ |
| ἐπότιζεν αὐτόν. | ἐπότιζεν αὐτόν, |
| 49 οἱ δὲ λοιποὶ ἔλεγον, | λέγων, |
| Ἄφες ἴδωμεν | Ἄφετε ἴδωμεν |
| εἰ ἔρχεται Ἠλίας | εἰ ἔρχεται Ἠλίας |
| σώσων αὐτόν. | καθελεῖν αὐτόν |
| 50 ὁ δὲ Ἰησοῦς πάλιν | 37 ὁ δὲ Ἰησοῦς |
| κράξας φωνῇ μεγάλῃ | ἀφεὶς φωνὴν μεγάλην |
| ἀφῆκεν τὸ πνεῦμα. | ἐξέπνευσεν. |
| 51 Καὶ ἰδοὺ | 38 Καὶ |
| τὸ καταπέτασμα τοῦ ναοῦ | τὸ καταπέτασμα τοῦ ναοῦ |
| ἐσχίσθη | ἐσχίσθη |
| ἀπ᾽ ἄνωθεν ἕως κάτω εἰς δύο, | εἰς δύο ἀπ᾽ ἄνωθεν ἕως κάτω. |
| καὶ ἡ γῆ ἐσείσθη, καὶ αἱ πέτραι ἐσχίσθησαν, 52 καὶ τὰ μνημεῖα ἀνεῴχθησαν καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθησαν, 53 καὶ ἐξελθόντες ἐκ τῶν μνημείων μετὰ τὴν ἔγερσιν αὐτοῦ εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν καὶ ἐνεφανίσθησαν πολλοῖς. | |
| 54 Ὁ δὲ ἑκατόνταρχος | 39 Ἰδὼν δὲ ὁ κεντυρίων |
| καὶ οἱ μετ᾽ αὐτοῦ τηροῦντες | ὁ παρεστηκὼς ἐξ ἐναντίας αὐτοῦ |
| τὸν Ἰησοῦν | |

| | |
|---|---|
| ἰδόντες τὸν σεισμὸν | ὅτι οὕτως ἐξέπνευσεν |
| καὶ τὰ γενόμενα | |
| ἐφοβήθησαν σφόδρα, λέγοντες, | εἶπεν, |
| Ἀληθῶς | Ἀληθῶς οὗτος ὁ ἄνθρωπος |
| θεοῦ υἱὸς ἦν οὗτος. | υἱὸς θεοῦ ἦν. |
| 55 Ἦσαν δὲ ἐκεῖ γυναῖκες πολλαὶ | 40 Ἦσαν δὲ καὶ γυναῖκες |
| ἀπὸ μακρόθεν θεωροῦσαι, | ἀπὸ μακρόθεν θεωροῦσαι, |
| αἵτινες ἠκολούθησαν τῷ Ἰησοῦ | |
| ἀπὸ τῆς Γαλιλαίας | |
| διακονοῦσαι αὐτῷ· | |
| 56 ἐν αἷς ἦν Μαρία ἡ Μαγδαληνὴ | ἐν αἷς καὶ Μαρία ἡ Μαγδαληνὴ |
| καὶ Μαρία ἡ τοῦ Ἰακώβου | καὶ Μαρία ἡ Ἰακώβου τοῦ μικροῦ |
| καὶ Ἰωσὴφ μήτηρ | καὶ Ἰωσῆτος μήτηρ |
| καὶ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου. | καὶ Σαλώμη, |
| | 41 αἳ ὅτε ἦν ἐν τῇ Γαλιλαίᾳ ἠκολούθουν αὐτῷ καὶ διηκόνουν αὐτῷ, καὶ ἄλλαι πολλαὶ αἱ συναναβᾶσαι αὐτῷ εἰς Ἱεροσόλυμα. |

332 matches out of 644 words = 52%